Ακαδημία Αθηνών / Academy of Athens

Bandinii, Cod. Laurent. II, στ. 275-276.

Βησσαρίων
(καρδινάλιος) 15 αἰ.

Ὑπό Bandinii περιγράφοντος τόν ὑπ' ἀρ. Plut. LV cod. XIII κώδ. (15 αἰ.) σημειοῦται:

ΘΕΟΔΩΡΟΥ ΑΝΤΙΡΡΗΤΙΚΟΝ. Praecedit pag. 1b: [epistula]

Βησσαρίων Καρδινάλις Ἰωάννῃ τῷ Ἀργυροπούλῳ εὖ πράττειν.

Ἀνέγνωμεν, ἃ πρὸς τὰ ἐν προοιμίοις τῆς ὑπὲρ Πλάτωνος ἀπολογίας ἐνιστάμενος γέγραφας. ἐθαυμάσαμεν οὖν, ὅτι πρὸς οὕτω βραχὺ καὶ σαφῆ λόγον ἑλληνικὸν ζητοῦντα κατ' ἐπιδρομὴν καὶ ἐπιτετμημένως, εἰ ἔνια τῶν εἰδῶν εἰσι χωριστά, ἢ πάντῃ ἀχώριστα; καὶ εἰ χωριστά, πότερον καθ' αὑτὰ ὑφεστηκότα, ἢ ἐν ἐπινοίαις κείμενα; (ἄλλως γὰρ ἂν ἐνῆν τὰ Πορφυρίου πρὸς ἔπος ἐνθέσθαι γνώριμα καὶ πᾶσιν ὄντα) τοσοῦτον λόγων πλῆθος ἀντέθηκας, οὐδέν, ὡς οἶμαι, δέον. ἅπερ καὶ ὡς περὶ μεγίστων δὴ τὸν λόγον ποιούμενα, οὐ διερρίψαμεν ἀναγνόντες, ὡς αὐτὸς ὑπετίθει. καὶ ἅμα ὅτι οὐδὲν ἂν ἐγίνετο προὔργου διαρραγέντων. καὶ γὰρ δὴ πολλοῖς καὶ πρὸ ἡμῶν ἔγνωσται ἐν ταῖς δημοσίαις πρὸς τοὺς ἀκροατὰς ὁμιλίαις. καὶ ταῦτα σου πολλάκις παρεισφέροντος εἴτε πρὸς τὸ προκείμενον, εἴτε καὶ μὴ οὐδὲν δεῖ λέγειν. διερρίψαμεν οὖν αὐτὰ οὐδαμῶς. αὐτοὶ δὲ μηδεμίαν, ὡς ὁρᾷς σχολὴν ἄγοντες φιλοσοφεῖν, φεύγοντες ἅμα καὶ τὸ ἐρίζειν καὶ μάτην ἐπιδείκνυσθαι, Θεόδωρον ἐξετάσαι τοὺς λόγους ὅσον δύνανται προετρέψαμεν, καὶ κοινῇ συνδιασκέψασθαι μετὰ σοῦ, εἰ τὰ ἡμῶν

./.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

εἰρημένα οὔτ' ἐπὶ τῶν ὄντων, οὔτ' ἐπὶ τῶν μὴ ὄντων ἀληθεύει, ὡς φής, καὶ ἅμα γυμνασίας λογικῆς ἕνεκα, καὶ ὡς ἢ πεισθῆναι, ἢ μεταπεῖσαι ἡμᾶς. ἐκεῖνος μὲν οὖν τὸ κηλῶδες ἐποίησεν. ἡμεῖς δὲ ὥσπερ καὶ πρότερον ταῦτα ἀκηκοότες καὶ εἰδότες, ὅμως οὐδένα πρός σε ἐποιήμεθα λόγον, δεδιότες μὴ χαλεπαίνῃς διὰ τὸ εὐόργιστον, καὶ περὶ πλείονος ποιούμενοι τὸ εὐνοϊκὸν τῆς δοξοσοφίας, οὐδὲν τῆς ἀρχαίας περί σε διαθέσεως ἠμείψαμεν, οὕτω καὶ νῦν εὐχα- ᾑρήμεθα πέμψαι σοι τὰ γεγραμμένα, οὐκ ἐλάσσονα ὁμοίᾳ ψυχῆς ἠρεμίᾳ καί σε οἴσειν. καίτοι μετρίως τε καὶ πρὸς τὸν λόγον οὐ τὸν λέγοντα εἰρημένα καὶ ἅμα σου ἄρξαντος. τοῦτο δὲ οὐ δεινόν, εἴ τις ἀπολογεῖται κατηγορούμενος· μᾶλλον δὲ τοῦτο μὲν ἀναγκαῖον, ἐκεῖνο δὲ περιττόν· καὶ μάλισθ' ὅτι καὶ μικροῦ πάντας τοὺς ἄλλους ἡμῖν ἐκοινώσω, δέον πρὸ πάντων ἡμῖν, εἰ ἀπ' εὐνοίας, ὡς φής, γεγόνει. τὸ γὰρ ἀπ' εὐνοίας ἢ πρώτοις ἢ μόνοις τοῖς φιλουμένοις ποιούμεθα. ἃ οὖν ἔφαμεν, οὐ περιπομπῶ σοι τὰ γεγραμμένα, οὔτ' ἴσως πέμψομεν, εἰ μὴ ἐπαγγέλλοιο πρῶτον ἡμῖν ἄνευ ἔριδος καὶ χολῆς ἢ διιέναι ἢ ἀντειπεῖν, ἢ εἰ βούλοιο, καὶ πᾶσαν τῆς ψυχῆς ἀπελάσαι μῆνιν καὶ θυμὸν ἢ χόλον. τοῦτο δὲ φαμεν, ὡς οἷόν τε μὲν ἀνθρώπῳ καὶ μέρος τι παθητικὸν ψυχῆς ἔχοντι, σοφῷ δὲ ἄλλως, καὶ διὰ τῆς ἱερᾶς ἠγμένῳ φιλοσοφίας. Εὖ πράττοις.